τὰς γλώσσας ἠληνήσαμεν γλώσσας τρώγοντες, οὐκ ἔχομεν τι ἕτερον φαγεῖν. πάλιν αἴσωπος ἑκάστῳ γλῶσσαν ζωμευτὴν παρέθηκεν. οἱ δὲ σχολαστικοὶ ἀγανακτοῦντες φασὶν, ἕως πότε γλώσσας, τῷ τῷ ἀρίστῳ τούτῳ. θυμωθεὶς οὖν ὁ ξάνθος ἔφη, αἴσωπε, οὐκ ἔχεις τι ἕτερον. ὁ δὲ εἶπεν, οὔ. καὶ ὁ ξάνθος, οὐκ εἶπόν σοι κατάρατε, ὅτι εἴ τι καλὸν καὶ χρηστὸν, ὤνησαι. ὁ δὲ φησὶ, χάριν ἔχω, ὅτι ἀνδρῶν φιλολόγων παρόντων μέμφῃ με. εἶπας, εἴ τι καλὸν, εἴ τι χρηστόν. καὶ τί μεῖζον ἐν βίῳ γλώττης; πᾶσα γὰρ φιλοσοφία καὶ παιδεία ἐξ αὐτῆς συνέστηκε, καὶ δι᾽ αὐτῆς δόσεις, λήψεις, ἀσπασμοί, ἀγορασίαι, δόξαι, μοῦσαι, γάμοι, πόλεις ἀνορθοῦνται, καὶ πάλιν καταβάλλονται, γλῶσσα ἄνδρα ταπεινοῖ, καὶ πάλιν ὑψοῖ. διὰ γὰρ γλώττης πᾶς ὁ βίος ἡμῶν συνέστηκεν. οὐδὲν οὖν αὐτῆς ἐστὶ